**αἰολικὸν δακτυλικὸν τετράμετρον καταληκτικὸν εἰς δισύλλαβον / aeolicum dactylicum (tetrametrum catalecticum in disyllabum)**

Hephaest. 23. 10 sqq. τὸ δὲ τετράμετρον (*scil.* δακτυλικὸν αἰολικὸν καταληκτικὸν εἰς δισύλλαβον)· (Sapph. 110 Voigt)

θυρωρῷ πόδες ἑπτορόγυιοι
τὰ δὲ σάμβαλα πεντεβόηα
πίσυγγοι δὲ δέκ᾽ ἐξεπόνασαν.

Trich. 378. 23 sqq. καταληκτικὸν δὲ (*scil.* δακτυλικὸν αἰολικὸν τετράμετρον) εἰς δισύλλαβον, ὃ καὶ Ἡφαιστίων (p. 23. 10 sqq.) ἐπισημειοῦται διὰ τὸ πολλαχοῦ αὐτῷ κεχρῆσθαι τοὺς παλαιούς, τό·

ἐκ σέθεν μὲν ἄνασσα φανέντα.

Schol. A in Hephaest. 129. 15 sq. αἰολικὸν τετράμετρον (*scil.* δακτυλικὸν καταληκτικὸν εἰς δισύλλαβον) τοῦ ἑξαμέτρου δακτύλοις μεμειωμένον δύο.

Schol. A in Hephaest. 129. 17 sq. πάλιν καταληκτικὸν (*scil.* δακτυλικὸν αἰολικὸν τετράμετρον) εἰς δισύλλαβον· τὸ δὲ ‘ἑπταθορρόγυοι’ ἀντὶ τοῦ ‘ἑπταόργυιοι’.

Schol. B in Hephaest. 274. 4 sqq. ὑφίστανται δὲ καὶ ἐν τούτῳ (*scil.* τῷ δακτυλικῷ αἰολικῷ) κατὰ ἀφαίρεσίν <τε καὶ πρόσθεσιν> δίμετρά τε καὶ τρίμετρα καὶ ἔτι τετράμετρα καὶ πεντάμετρα (μονόμετρα γὰρ οὐκ ἔχει) καὶ ταῦτα καταληκτικά τε εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον καὶ ἀκατάληκτα).

Schol. B in Hephaest. 274. 9 sqq. τῶν μὲν οὖν ἄλλων παραδείγματα οὐκ ἔχομεν, τετραμέτρων δὲ (*scil.* δακτυλικῶν αἰολικῶν) καταληκτικῶν εἰς δισύλλαβον τό· (Sapph. 110 Voigt)

θυρωρῷ πόδες ἑπτορόγυιοι,
τὰ δὲ σάμβαλα πεντεβόηα,
πίσυγγοι δὲ δέκ᾽ ἐξεπόνασαν.

Mall. Theod. GL VI 590. 17 sqq. metrum dactylicum aeolicum recipit pedes hos, spondium sive iambum sive trochaeum loco primo, deinde duos dactylos, post spondium sive trochaeum. huius exemplum:

ampla condere moenia coepit.

Ivl. Tol. 229. 169 sqq. quale metrum sequitur? aeolicum. quales pedes recipit? de disyllabis, excepto pyrrichium (non recipit in capite), ceteros recipit, post duos dactylos, in fine spondeum aut trochaeum. da eius exemplum:

ampla condere moenia coepit,

item:

ignes praecipitant rutilantes. [*P.S.*]